ἥν σοι κατηγγύησ᾽, ἑταιρίαν σέβων·
σὺ δ᾽ ἄλλο λέκτρον παιδοποίησαι λαβών,
κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ᾽ ἔστι δή.
ἀλλ᾽, ὦ ποθεινὸν ὄνομ᾽ ὁμιλίας ἐμῆς,
χαῖρ᾽· οὐ γὰρ ἡμῖν ἔστι τοῦτο, σοί γε μήν·
οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.
ΠΥ. ἦ που λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
μήθ᾽ αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθήρ, εἴ σ᾽ ἐγὼ προδοὺς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμί σε.
καὶ συγκατέκτανον γάρ, οὐκ ἀρνήσομαι,
καὶ πάντ᾽ ἐβούλευσ᾽ ὧν σὺ νῦν τίνεις δίκας·
καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ καὶ τῇδ᾽ ὁμοῦ.
ἐμὴν γὰρ αὐτήν, ἧς λέχος ἐπῄνεσα,
κρίνω δάμαρτα· τί γὰρ ἐρῶ καλόν ποτε
γῆν Δελφίδ᾽ ἐλθὼν Φωκέων ἀκρόπτολιν,
ὃς πρὶν μὲν ὑμᾶς δυστυχεῖν φίλος παρῆν,
νῦν δ᾽ οὐκέτ᾽ εἰμὶ δυστυχοῦντί σοι φίλος;
οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
ἐπεὶ δὲ κατθανούμεθ᾽, εἰς κοινοὺς λόγους
ἔλθωμεν, ὡς ἂν Μενέλεως ξυνδυστυχῇ.
ΟΡ. ὦ φίλτατ᾽, εἰ γὰρ τοῦτο κατθάνοιμ᾽ ἰδών.
ΠΥ. πιθοῦ νυν, ἀνάμεινον δὲ φασγάνου τομάς.
ΟΡ. μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.
ΠΥ. σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.
ΟΡ. μηδὲν τρέσῃς τάσδ᾽· ὡς πάρεισ᾽ ἡμῖν φίλαι.
ΠΥ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.
ΟΡ. πῶς; τὸ γὰρ ἕτοιμον ἔστιν, εἴ γ᾽ ἔσται καλῶς.
ΠΥ. σφάξαντες. ἐν δόμοις δὲ κρύπτεται σέθεν.
ΟΡ. μάλιστα· καὶ δὴ πάντ᾽ ἀποσφραγίζεται.
ΠΥ. ἀλλ᾽ οὐκέθ᾽, Ἅιδην νυμφίον κεκτημένη.
ΟΡ. καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.

1081. κῆδός τε C 1082. ὄμμ᾽ B 1085. ἦ πολύ Bc 1088. ἀπολείποιμι AFc 1093. τί γὰρ ἐγὼ ἐρῶ καλόν ποτε B τί γὰρ ἐρῶ κἀγώ ποτε C 1094. τήν F 1101. πείθου C 1102. τι om. cC